**βραχύσημος**

Arist. Qvint. *de mus.* I 24 (p. 48. 4 sqq. Winnington-Ingram) τὸ δ᾽ ἀντίστροφον τούτῳ τὸ ἀναπαιστικὸν δέχεται πόδας δάκτυλον (σεμνότερον γὰρ ὑπ᾽ αὐτοῦ γίνεται) καὶ τὸν ἰσόχρονον σπονδεῖον καὶ τὸν προκελευσματικόν· καὶ ἄρχεται μὲν ἀπὸ διμέτρου καὶ προχωρεῖ μέχρι τετραμέτρου· καὶ ὅτε μέν ἐστιν ἁπλοῦν, καθ᾽ ἕνα πόδα γίνεται, ὅτε δὲ σύνθετον, δι᾽ ἣν προείπομεν αἰτίαν, κατὰ συζυγίαν ἢ διποδίαν (διποδία δέ ἐστι ποὺς τετρασύλλαβος· τί δ᾽ ἡ συζυγία, προειρήκαμεν)· καὶ τὰ εἴδη δὲ τῶν καταλήξεων ἐπιδέχεται πασῶν καὶ τὴν τῶν λογαοιδικῶν μέθοδόν τε καὶ χρῆσιν, οὐ κατὰ τὰς πρώτας χώρας μόνον πόδας δισυλλάβους βραχυσημοτέρους παραλαμβάνον, ἀλλὰ καὶ κατὰ τὰς τελευταίας τὸν βακχεῖον. [*M.E.*]